eul_wid: qek-ac

*Λολλιανός* · Lollianus the Erotic Writer

# Phoenician Matters

## *Φοινικικά*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

col 2 νι εἰς τὴν αὐτὴν θαψα[ ... ] μικρὸν ἀπὸ τῆς ὁδοῦ ἐκ[τρα-] πείς. κεῖμαι δὴ ὑπὸ τῇ π[λα-] τανίστῳ ἐκείνῃ καὶ μετ᾽ ἐμοῦ κόρη καλή, ἄμφω ἀνῃρημένοι.” ὁ δὲ Γλαυκέτης ἐκπλαγείς, ὥσπερ εἰκός, ἐφθέγξατο μὲν οὐδὲν πρὸς ταῦτα, ἐπένευεν δὲ μόνον καὶ [ἅμ]α ἤλαυνεν. ὁ δὲ νεάνι[σκος] ἠφανίσθη ἐπινεύσαν[τος, ὁ] δὲ Γλαυκέτης κατὰ κρά[τ]ος ἤλαυνεν καὶ ἅμα ἐπεστρέφετο, εἴ που αὖθις ἴδοι ἐκεῖνον, ἀλλ᾽ οὐκέτι ἔβλεπεν. ἀφικνεῖται οὖν νυκτὸς ἔτι ε[ἰ]ς τὴν κώμην καὶ ἦν παρ᾽ αὐτῇ ποταμός· τοῦτον διαβὰς ὁρᾷ τινα ἱππόστασιν ἀνεῳγμένην καὶ ἐν αὐτῇ στιβάδα εὐτελῆ καὶ φαύλην. καταδήσας οὖν πρὸς τῇ φάτνῃ τὸν ἵππον βαλὼν αὐτὸς ἐπὶ τῆς στιβάδ[ο]ς ἐπεχείρει καθεύδειν· κἀν τούτῳ κάτεισι γυνὴ διὰ κλίμακος ἣ ἦν ἐξ ὑπερῴ[ου ἄ]γουσα κάτω εἰς τὴν ἱπ[πόστασιν ... ] [Break in Text (point at which text breaks off for an unknown length)] [29]